www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ ΙΕΡΑΡΧΗΝ
# ΑΓΙΟΝ ΠΑΝΑΡΕΤΟΝ,
# ΕΠΙΣΚΟΠΟΝ ΠΑΦΟΥ ΤΗΣ ΚΥΠΡΟΥ

(οὗ ἡ μνήμη τῇ 1ῃ Μαΐου)

Συνετέθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* 2000 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ ΙΕΡΑΡΧΗΝ ΑΓΙΟΝ ΠΑΝΑΡΕΤΟΝ, ΕΠΙΣΚΟΠΟΝ ΠΑΦΟΥ

* * *

*Εὐλογητός, Κύριε εἰσάκουσον, Θεὸς Κύριος, καὶ τὸ τροπάριον*

Ἦχος δ'. Ὁ ὑψωθείς.

Τῶν ἀρετῶν ὑπενδυθεὶς θείαν χλαῖναν, ποιμὴν τῆς Πάφου θαυμαστὸς ἀνεδείχθης, Πανάρετε καὶ μέγιστος εὐχέτης πρὸς Θεόν· ὅθεν αἰτουμένων σου, μὴ παρίδῃς δεήσεις, ἀλλὰ ταύτας πλήρωσον, ὡς φιλότεκνος πάτερ, καὶ πάσης ῥύου θλίψεως δεινῆς, διδοὺς ἑκάστῳ, ψυχῆς τὰ συμφέροντα.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο, ἐκ τοσούτων κινδύνων, τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ, σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

**Ὁ Ν'ψαλμός, μεθ᾽ ὃν ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**

*“ Σκήνωμα πάσης ἀρετῆς δεῖξόν με, Πάτερ. Ἀ(θανάσιος)”.*

Ὠιδὴ α'. Ἦχος πλ.δ'. Ὑγρὰν διοδεύσας.

Στολίσας ἐκ παίδων ταῖς ἀρεταῖς, ψυχήν σου ἐδείχθης, οἶκος πάντερπνος τοῦ Χριστοῦ, Ὃν Πάτερ Πανάρετε δυσώπει, ὑπὲρ ἡμῶν αἰτουμένων πρεσβείας σου.

Κρατήσας τοὺς οἴακας τῆς ψυχῆς, λιμένι ὡρμίσθης, Βασιλείας τῶν οὐρανῶν, ἧς πάντας ἀξίωσον εὐχαῖς σου, τὸν Ἰησοῦν ἱκετεύων Πανάρετε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἠράσθης τὴν ἔνθεον βιοτήν, σειρῆνας διώξας, ἁμαρτίας πάτερ μακράν, ψυχῆς σου διὸ καταξιώσαις, καὶ τοὺς τιμῶντάς σε οὕτω πορεύεσθαι.

Θεοτοκίον

Ναοὺς τοῦ Δεσπότου πανευπρεπεῖς, ἀνάδειξον Μῆτερ, τοὺς εἰκόνα σου τὴν σεπτήν, ἐκ πόθου τιμώντων καὶ βοώντων, τοῦ Ἀρχαγγέλου τὸ "Χαῖρέ" σοι Ἄχραντε.

Ὠιδὴ γ'. Οὐρανίας ἁψῖδος.

Ὤφθης ἄμωμος πάτερ, ἐν τοῖς Θεοῦ κρίμασιν, ὅθεν ἠξιώθης γενέσθαι, ποιμὴν θεσπέσιος, διὸ ἱκέτευε, Ἀρχιερέα τὸν μέγαν, ὅπως καταπέμψειε, χάριν τοῖς τέκνοις σου.

Μακρυνθεὶς τῶν γηΐνων, καὶ τῶν φθαρτῶν Ἅγιε, γέγονας ὡς ἄγγελος θεῖος, πάτερ Πανάρετε, ὅθεν δεόμεθα, τὸν νοῦν ἡμῶν ἐκκαθάροις, τοῦ Χριστοῦ ὀνόματος, μνήμην δωρούμενος.

Ἀγαθῶν ἐντρυφήσας, τοῦ οὐρανοῦ ἅγιε, ἔτι τῆς φθορᾶς περιφέρων, σῶμα ἀξίωσον, πάντας τοὺς δούλους σου, καταπολαῦσαι ἐντεῦθεν, ὧν Χριστὸς ὑπέσχετο, θείων τρυφήσεων.

Θεοτοκίον

Πρὸς Θεὸν αἶρε χεῖρας, ὑπὲρ πιστῶν Ἄχραντε, ὅτι πρὸς Αὐτὸν παῤῥησίαν, σὲ πεπλουτήκαμεν, καὶ καθικέτευε, ἁμαρτιῶν τῶν ποικίλων, δοῦναι τὴν συγχώρησιν, ὡς Πολυέλεος.

Διάσωσον, τοὺς δεομένους σου πάσης ἀνάγκης, ὡς φιλότεκνος πάτερ Πανάρετε, καὶ αἴτησαι τὴν τῶν ψυχῶν, καὶ σωμάτων ὑγείαν.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.

Τῆς Πάφου ποιμὴν ἐδείχθης θεονούστατος, ἀγάπη πολλῇ καὶ θαύμασι κοσμούμενος, δι᾽ ὧν ἀπελαύνεις ἀεὶ τὰς νόσους Πανάρετε, καὶ τὴν εἰρήνην ψυχαῖς, χαρίζῃ ἀδιάσειστον.

Ὠιδὴ δ'. Εἰσακήκοα, Κύριε.

Ἀδιάλειπτον ἔσχηκας, τὴν εὐχὴν Πανάρετε ὅσιε, ἣν παράσχου ὥσπερ δώρημα, τοῖς ἐπιθυμοῦσιν ἐν ἁπλότητι.

Σάλον κόπασον ἅγιε, τὸν ἐπεγειρόμενον ἐκ τῶν θλίψεων, καὶ λιμένι ἐγκαθόρμισον, τῆς Χριστοῦ εἰρήνης τοὺς τιμῶντάς σε.

Ἡ ζωή σου μακάριε, ἔμπνουν Εὐαγγέλιον ἀναδέδεικται, καὶ κανὼν βίου χριστόφρονος, οὗ τοὺς αἰτουμένους σε ἀξίωσον.

Θεοτοκίον

Σωτηρίαν Πανύμνητε, δίδου τοῖς ὑμνοῦσί σου τὰ θαυμάσια, καὶ τὴν σάρκωσιν δοξάζουσι, Λόγου τὴν ὑπέρλογον Θεόνυμφε.

Ὠιδὴ ε'. Φώτισον ἡμᾶς.

Αἶρε ἀφ᾽ ἡμῶν, τῆς σαρκὸς πάτερ τὸν πόλεμον, καὶ τοῦ Πνεύματος κατάστησον, τὴν εἰρήνην, ὅπως σε γεραίρωμεν Πανάρετε.

Ῥῦσαι τῶν παθῶν, ψυχωλέθρων πάτερ τέκνα σου, πᾶσιν ἀπάθειαν δωρούμενος, καὶ τῷ Δεσπότῃ, τὰς ψυχὰς ἡμῶν συνάρμοσον.

Ἔλαιον Χριστοῦ, ταῖς πληγαῖς ἡμῶν ἐπίχεε, πάτερ Πανάρετε πρεσβείαις σου, Σαμαρείτου, τοῦ καλοῦ ὡς ἀφομοίωμα.

### Θεοτοκίον

Τήρησον ἡμᾶς, πειρασμῶν Παρθένε Ἄχραντε, καὶ λογισμοὺς πόῤῥω ἐκδίωκε, θείᾳ μνήμῃ, τοῦ Υἱοῦ τοῦ γλυκυτάτου σου.

### Ὠιδὴ στ'. Τὴν δέησιν ἐκχεῶ.

Ἠγώνισαι, κατ᾽ ἐχθροῦ Πανάρετε, καὶ ἐστέφθης ἀφθαρσίας τῷ στέφει, ὅθεν ἡμᾶς, πειρασμοῖς ἐμπεσοῦσι, ταῖς πατρικαῖς σου εὐχαῖς ὑποστήριζε, καὶ δὸς τὸ τέλος ἀγαθόν, ἵνα πόθῳ τιμῶμεν τὴν μνήμην σου.

Συνέδησας, ἀσθενὲς σαρκίον σου, τῇ ἁλύσει ὡς μισόψυχον κύνα, καὶ ἐν κρυπτῷ, σοὺς ἀγῶνας ἐτέλεις, διὸ Κυρίου τὸ ἔλεος εἵλκυσας, Ὃν πρέσβευε διὰ παντός, ὑπὲρ τέκνων σου πάτερ Πανάρετε.

Δεδώρηται, ὁ Χριστός σοι δύναμιν, πρὸς καθαίρεσιν τειχῶν ἐναντίων, καὶ τὴν ψυχήν, κατεχάλκευσε πίστει, εἰς πειρασμῶν ἀντοχήν ἁγιώτατε, διὸ ὡς πείρᾳ στομωθείς, ταῖς εὐχαῖς σου ἡμᾶς καταπλούτισον.

### Θεοτοκίον

Ἐλέησον, μητρικῇ ἀγάπῃ σου, σὰ ἀνόητα καὶ πίπτοντα τέκνα· καὶ γὰρ Ἁγνή, εἰ ἀεὶ ἐν τῇ πτώσει, καὶ ἁμαρτίας πολλαῖς διακείμεθα, οὐ θέλομεν τὴν ἀπὸ σοῦ, καὶ Χριστοῦ αἰωνίαν διάστασιν.

Διάσωσον, τοὺς δεομένους σου πάσης ἀνάγκης, ὡς φιλότεκνος πάτερ Πανάρετε, καὶ αἴτησαι τὴν τῶν ψυχῶν, καὶ σωμάτων ὑγείαν.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Κοντάκιον. Ἦχος β'. Προστασία τῶν χριστιανῶν.

Τὸν Χριστὸν ἐκ παιδὸς ἐφαψάμενος, ἕως γήρως Πανάρετε ἔσχηκας, θησαυρόν σου, καὶ τῆς καρδίας μόνον ποθητόν, διό, ἀντημείφθης παρ᾽ Αὐτοῦ, θαυματουργίαις ἱεραῖς, καὶ σημείοις ἐν βίῳ σου· ὅθεν μὴ διαλίπῃς, πάντοτε ἱκετεύειν, ὑπὲρ τῶν πόθῳ σου ἀεί, ἐκζητούντων πάτερ δέησιν.

Προκείμενον. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην...
Στίχος. *Τί ἀνταποδώσομεν τῷ Κυρίῳ...*

**ΕΥΑΓΓΕΛΙΟΝ**
᾽Εκ τοῦ κατὰ Ματθαῖον ( ε' 14 - 19)

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη. Οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ᾽ ἐπὶ τὴν λυχνίαν καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Μὴ νομίσητε, ὅτι ἦλθον καταλῦσαι τὸν Νόμον ἢ τοὺς Προφήτας. Οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι. ᾽Αμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ Νόμου, ἕως ἂν πάντα γένηται. Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ Βασιλείᾳ τῶν οὐρανῶν. Ὃς δ᾽ ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ Βασιλείᾳ τῶν οὐρανῶν.

*Δόξα. Ταῖς τοῦ Ἱεράρχου.*
*Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.*

Στίχ. *᾽Ελεῆμον, ἐλέησόν με ὁ Θεός...*

*καὶ τὸ προσόμοιον.*

Ἦχος πλ.β'. Ὅλην ἀποθέμενοι.

Ὡς σοφός τις ἔμπορος, τὴν Βασιλείαν Κυρίου, ἀρεταῖς ἠγόρασας, καὶ σαὐτὸν ἐκόσμησας ἱερώτατε· τῶν παθῶν γέγονας, κύριος ἐν γνώσει, καὶ λαὸν Θεοῦ ἐποίμανας, πάτερ Πανάρετε, δεσμευθεὶς βαρείαις ἀλύσεσι· διό καὶ κατηξίωσαι, τῆς θαυματουργίας ἐν βίῳ σου· ὅθεν φιλοτέκνως, ἱκέτευε τὸν εὔσπλαγχνον Θεόν, Πάφου πανάριστε πρόεδρε, ὑπὲρ τῶν τιμώντων σε.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου κλπ.*

Ὠιδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἱλέωσαι τὸν Κτίστην, ἱεράρχα Πανάρετε ὑπὲρ δούλων σου, καὶ γὰρ ἐν ἁμαρτίαις, τὸν χρόνον σπαταλῶμεν, καὶ οὐ μνήμην λαμβάνομεν, τοῦ ἐπὶ θύραις Κριτοῦ, καὶ ὥρας τῆς ἐσχάτης.

Ξενίζει ὁ σὸς βίος, τοὺς φοροῦντας τὴν σάρκα ταύτην τὴν ἔνυλον, ὅτι ὡς ὑπὲρ φύσιν, διῆλθες κόσμον πάτερ, καὶ ὡς ἄγγελος ἔζησας· οἰκῶν δὲ νῦν οὐρανούς, ἡμῶν μὴ ἐπιλάθου.

Ὁ νόμος τῆς ἀγάπης, ἣν ἡ στάθμη τῶν ἔργων σου ἁγιώτατε, ὃν δίδου ὥσπερ κλῆρον, σὺν φόβῳ τοῦ Δεσπότου, ταῖς ψυχαῖς ἡμῶν σύμβιον, ὅπως ὡς τέκνα Θεοῦ, ἀεὶ περιπατῶμεν.

Θεοτοκίον

Νοσοῦσάν μου τὴν σάρκα, καὶ ψυχὴν τὴν συμπάσχουσαν Παναμώμητε, ἰάτρευσον ὡς οἶδας, εὐχαῖς ταῖς μητρικαῖς σου, ἰατρὸν ἡ κυήσασα, παντὸς τοῦ κόσμου Χριστόν, Ὃν πίστει προσκυνοῦμεν.

Ὠιδὴ η'. Τὸν Βασιλέα.

Μνήμην θανάτου, τὴν ἀλεξίμαρτον δίδου, τοῖς τιμῶσί σε Πανάρετε πάτερ, ταύτῃ γὰρ συνέζης, Χριστῷ ἐσταυρωμένος.

www.tezaurliturgic.ro



Ἐν μέσῳ κόσμου, ὡς ἀσκητὴς ἠγωνίσθης, καὶ ἀπείληφας ὦ Πάτερ τὸ στέφος, διὸ κατευλόγει, τὴν ἄσκησιν σῶν τέκνων.

Πάσῃ δυνάμει, ἐν κρυφιότητι μέλι, χρισταρέστων ἀρετῶν κατειργάσθης, ὅθεν νῦν συμμάχει, Πανάρετε σοῖς δούλοις.

Θεοτοκίον

Ἄκουσον Μῆτερ, τὸν στεναγμὸν τῆς καρδίας, καὶ προσδέχου μετάνοιαν σοῦ δούλου, δάκρυα διδοῦσα, ἀποπισσοῦντα ῥύπους.

Ὠιδὴ θ΄. Κυρίως Θεοτόκον.

Τὸ στόμα ἡμῶν πλῆσον, ἀληθείας πάτερ, ὁ τοῦ ψευδῶς ὀρκισθέντος ἀπύλωτον, φράξας σῇ θείᾳ προστάξει, στόμα Πανάρετε.

Ἐν ἐξομολογήσει, βίον περαιῶσαι, τοὺς αἰτουμένους σου Πάτερ ἀξίωσον, ὥσπερ τῷ πρῴην Καρπάθου, σὺ ἐξηγόρευσαι.

Ρημάτων ἀποροῦντες, πρὸς εὐφημισμόν σου, πάτερ Πανάρετε γόνατα κλίνομεν, καὶ πρὸς Δεσπότην σε πρέσβυν θερμὸν προβάλλομεν.

Θεοτοκίον

Ἀξίωσον Παρθένε, σὺν τῷ Παναρέτῳ, καὶ τῶν Ἁγίων ἁπάντων στρατεύμασι, παρασταθῆναι Κυρίῳ, τοὺς ἀνυμνοῦντάς σε.

*Ἄξιόν ἐστι... καὶ τὰ*

Μεγαλυνάρια

Χαίροις Πάφου θεῖε ἀρχιερεῦ, ἀρετῶν δοχεῖον, καὶ θαυμάτων ὁ αὐτουργός, χαίροις ὁ ἀσκήσει βιώσας θεαρέστῳ, τῆς Κύπρου πάσης πρέσβυς, πάτερ Πανάρετε.

Παῦλον καὶ Βαρνάβαν τοὺς ἱδρυτάς, Ἐκκλησίας Πάφου, ἔχων πάτερ πρὸ ὀφθαλμῶν, ἀρετῆς ἐνθέου ἐπλήσθης καὶ ἀξίως, διάδοχος ἐδείχθης, τούτων Πανάρετε.

Ὥσπερ τὸν παράλυτον ὑγιᾶ, ἔδειξας παμμάκαρ, οὕτω κλίνη ἁμαρτιῶν, κείμενόν με δεῖξον, ὡς ἔλαφον σκιρτῶντα, Πανάρετε πατέρων, ἀρχαίων σύστοιχε.

Ζῶσόν με ἁλύσει τῇ τοῦ Σταυροῦ, ὅπως τῇ νεκρώσει τοῦ Κυρίου ἐκδυνηθῶ, τοῦ ἐχθροῦ παγίδας, φυγεῖν τὰς ψυχωλέθρους, καὶ ἀληθῶς βιώσω, πάτερ Πανάρετε.

Νοεραῖς αἰσθήσεσι προσκυνῶ, πάτερ λείψανά σου, ἅπερ κρύπτεις ἄχρι τοῦ νῦν, ὅθεν ὥσπερ κλέπτης Πανάρετε κρυφίως, καρποῦμαι τὰς εὐχάς σου, πρὸς τὸν Φιλάνθρωπον.

*εἰδικὸν διὰ τοὺς συνωνύμους τῷ Ἁγίῳ*

Πλῆσον συνωνύμων σου τὰς ψυχάς, ἀρετῶν ποικίλων, ὦ Πανάρετε ἱερέ, ἵνα ἐν τῇ ἄνω, Σιὼν συμπαραστῶσι, πρὸ θρόνου τοῦ Δεσπότου, πάτερ φιλότεκνε.

*Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί....*

*Τρισάγιον κλπ.*

*Εἰς τὴν ἀπόλυσιν. Στιχηρὸν προσόμοιον.*

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε.

Δεῦτε τὸν ποιμένα τὸν καλόν, πάσης ἀρετῆς τὸ δοχεῖον, Πάφου τὸν πρόεδρον, τὸν κλεινὸν Πανάρετον ἐκμιμησώμεθα, καὶ ψυχῶν ἡμῶν ἴασιν, αἰτήσωμεν πόθῳ, ἅμα καὶ τοῦ σώματος οἱ



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


καχεκτοῦντες δεινῶς, ὅτι ἐκ Κυρίου πλουσίως, εἴληφε τὴν χάριν θαυμάτων, ὁ ἐν ἱεράρχαις τιμιώτατος.

*Δέσποινα πρόσδεξαι...*
*Τὴν πᾶσαν ἐλπίδα μου...*

Δι᾽ εὐχῶν.

Στίχοι

*Ἀρετῶν πανάρια δεῖξον σοὺς δούλους,*
*Ὅσοι σου, Πανάρετε, εὐχὰς αἰτοῦμεν.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ